## ΛΟΓΟΣ

Ἡράκλειτος Βλόσωνος Ἐφέσιος τάδε λέγει·

*Τοῦ δὲ λόγου τοῦδ' ἐόντος ἀεὶ ἀξύνετοι γίνονται ἄνθρωποι καὶ πρόσθεν ἢ ἀκοῦσαι καὶ ἀκούσαντες τὸ πρῶτον· γινομένων γὰρ πάντων κατὰ τὸν λόγον τόνδε ἀπείροισιν ἐοίκασι, πειρώμενοι καὶ ἐπέων καὶ ἔργων τοιούτων, ὁκοίων ἐγὼ διηγεῦμαι διαιρέων ἕκαστον κατὰ φύσιν καὶ φράζων ὅκως ἔχει· τοὺς δὲ ἄλλους ἀνθρώπους λανθάνει ὁκόσα ἐγερθέντες ποιοῦσιν, ὅκωσπερ ὁκόσα εὕδοντες ἐπιλανθάνονται.*

B 1

*Διὸ δεῖ ἕπεσθαι τῷ ξυνῷ. τοῦ λόγου δ' ἐόντος ξυνοῦ ζώουσιν οἱ πολλοὶ ὡς ἰδίαν ἔχοντες φρόνησιν.*

B 2

*Περὶ μεγέθους ἡλίου) εὖρος ποδὸς ἀνθρωπίνου.*

B 3

*Si felicitas esset in delectationibus corporis, boves felices diceremus, cum inveniant orobum ad comedendum.)*

B 4

*Καθαίρονται δ' ἄλλως αἵματι μιαινόμενοι οἷον εἴ τις εἰς πηλὸν ἐμβὰς πηλῷ ἀπονίζοιτο. μαίνεσθαι δ'*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416244610/8 UNIVERSITÄT LEIPZIG